| | |
|---|---|
| **ΜΑΘΗΜΑ / ΤΑΞΗ:** | **ΑΡΧΑΙΑ Γ ΓΥΜΝΑΣΙΟΥ** |
| **ΗΜΕΡΟΜΗΝΙΑ:** | **14.3.2026** |

## Α.ΚΕΙΜΕΝΟ

### Ένα παράδειγμα σεβασμού προς τους γονείς

Λέγεται γοῦν ἐν Σικελίᾳ (εἰ γὰρ καὶ μυθωδέστερόν ἐστιν, ἀλλ' ἁρμόσει καὶ νῦν ἅπασι τοῖς νεωτέροις ἀκοῦσαι) ἐκ τῆς Αἴτνης ῥύακα πυρὸς **<u>γενέσθαι</u>**· τοῦτον δὲ ῥεῖν φασιν ἐπί τε τὴν ἄλλην χώραν, καὶ δὴ καὶ πρὸς πόλιν τινὰ τῶν ἐκεῖ κατοικουμένων. Τοὺς μὲν οὖν ἄλλους ὁρμῆσαι πρὸς φυγήν, τὴν αὐτῶν σωτηρίαν ζητοῦντας, ἕνα δέ τινα τῶν νεωτέρων, ὁρῶντα τὸν πατέρα πρεσβύτερον ὄντα καὶ οὐχὶ δυνάμενον ἀποχωρεῖν, ἀλλὰ ἐγκαταλαμβανόμενον ὑπὸ τοῦ πυρός, ἀράμενον φέρειν. Φορτίου δ' οἶμαι προσγενομένου καὶ αὐτὸς ἐγκατελήφθη. Ὅθεν δὴ καὶ ἄξιον θεωρῆσαι τὸ θεῖον, ὅτι τοῖς ἀνδράσιν τοῖς ἀγαθοῖς εὐμενῶς ἔχει. Λέγεται γὰρ κύκλῳ τὸν τόπον ἐκεῖνον περιρρυῆναι τὸ πῦρ καὶ σωθῆναι τούτους μόνους, ἀφ' ὧν καὶ τὸ χωρίον ἔτι καὶ νῦν προσαγορεύεσθαι τῶν εὐσεβῶν χῶρον· τοὺς δὲ ταχεῖαν τὴν ἀποχώρησιν ποιησαμένους καὶ τοὺς ἑαυτῶν γονέας **ἐγκαταλιπόντας** ἅπαντας ἀπολέσθαι.

## Β. ΠΑΡΑΤΗΡΗΣΕΙΣ

1. Να μεταφραστεί το απόσπασμα: «**Τοὺς μὲν … αὐτὸς ἐγκατελήφθη.**»

Μονάδες 4

2. Ποιο μήνυμα(δίδαγμα) εκπέμπει το κείμενο;

Μονάδες 3

3. Για καθεμία από τις παρακάτω νεοελληνικές λέξεις να βρείτε μια απλή ή σύνθετη που να ταιριάζει ετυμολογικά με το παραπάνω κείμενο.
   **Γεγονός, οπτικός, αναθεώρηση, εισροή.**

Μονάδες 2

4. Να συμπληρώσετε τους τύπους των ουσιαστικών που ζητούνται:
   τὸν πατέρα: κλητική ενικού
   τὴν σωτηρίαν: αιτιατική πληθυντικού
   πόλιν: δοτική πληθυντικού

Μονάδες 3

5. Να γράψετε τους τύπους που ζητούνται:
   α) νεωτέρων: την ίδια πτώση στους υπόλοιπους βαθμούς του επιθέτου.
   τοῖς ἀγαθοῖς: την ίδια πτώση στους υπόλοιπους βαθμούς του επιθέτου

Μονάδες 2

β) Λέγεται: β ενικό οριστικής και προστακτικής αορίστου β
γενέσθαι: α πληθυντικό πρόσωπο οριστικής και υποτακτικής αορίστου β.

Μονάδες 4

6. α)Να προσδιορίσετε το συντακτικό ρόλο των υπογραμμισμένων λέξεων γενέσθαι, ἐγκαταλιπόντας

   β) «εἰ γὰρ καὶ μυθωδέστερόν ἐστιν»: να προσδιορίσετε το είδος της δευτερεύουσας πρότασης και το συντακτικό της ρόλο.

Μονάδες 2

ενtάξη ΕΚΠΑΙΔΕΥΣΗ ΦΡΟΝΤΙΣΤΗΡΙΑ